17 πίνου ἢ μνήματος, ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσται. [17]καὶ λήμψονται
τῷ ἀκαθάρτῳ ἀπὸ τῆς σποδιᾶς τῆς κατακεκαυμένης τοῦ ἁγνισμοῦ
18 καὶ ἐκχεοῦσιν ἐπ᾽ αὐτὴν ὕδωρ ζῶν εἰς σκεῦος· [18]καὶ λήμψεται
ὕσσωπον καὶ βάψει εἰς τὸ ὕδωρ ἀνὴρ καθαρὸς καὶ περιρρανεῖ ἐπὶ
τὸν οἶκον καὶ ἐπὶ τὰ σκεύη καὶ ἐπὶ τὰς ψυχάς, ὅσαι ἐὰν ὦσιν
ἐκεῖ, καὶ ἐπὶ τὸν ἡμμένον τοῦ ὀστέου τοῦ ἀνθρωπίνου ἢ τοῦ τραυ-
19 ματίου ἢ τοῦ τεθνηκότος ἢ τοῦ μνήματος· [19]καὶ περιρρανεῖ ὁ κα-
θαρὸς ἐπὶ τὸν ἀκάθαρτον ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἐν τῇ ἡμέρᾳ
τῇ ἑβδόμῃ, καὶ ἀφαγνισθήσεται τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ πλυνεῖ
τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέ-
20 ρας. [20]καὶ ἄνθρωπος, ὃς ἐὰν μιανθῇ καὶ μὴ ἀφαγνισθῇ, ἐξολεθρευ-
θήσεται ἡ ψυχὴ ἐκείνη ἐκ μέσου τῆς συναγωγῆς, ὅτι τὰ ἅγια κυ-
ρίου ἐμίανεν, ὅτι ὕδωρ ῥαντισμοῦ οὐ περιερραντίσθη ἐπ᾽ αὐτόν,
21 ἀκάθαρτός ἐστιν. [21]καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον· καὶ ὁ περιρ-
ραίνων ὕδωρ ῥαντισμοῦ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ὁ ἁπτόμενος
22 τοῦ ὕδατος τοῦ ῥαντισμοῦ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· [22]καὶ
παντός, οὗ ἐὰν ἅψηται αὐτοῦ ὁ ἀκάθαρτος, ἀκάθαρτον ἔσται, καὶ
ἡ ψυχὴ ἡ ἁπτομένη ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.
20 [1]Καὶ ἦλθον οἱ υἱοὶ Ισραηλ, πᾶσα ἡ συναγωγή, εἰς τὴν ἔρημον
Σιν ἐν τῷ μηνὶ τῷ πρώτῳ, καὶ κατέμεινεν ὁ λαὸς ἐν Καδης, καὶ
2 ἐτελεύτησεν ἐκεῖ Μαριαμ καὶ ἐτάφη ἐκεῖ. [2]καὶ οὐκ ἦν ὕδωρ τῇ
3 συναγωγῇ, καὶ ἠθροίσθησαν ἐπὶ Μωυσῆν καὶ Ααρων. [3]καὶ ἐλοι-
δορεῖτο ὁ λαὸς πρὸς Μωυσῆν λέγοντες Ὄφελον ἀπεθάνομεν ἐν τῇ
4 ἀπωλείᾳ τῶν ἀδελφῶν ἡμῶν ἔναντι κυρίου· [4]καὶ ἵνα τί ἀνηγάγετε
τὴν συναγωγὴν κυρίου εἰς τὴν ἔρημον ταύτην ἀποκτεῖναι ἡμᾶς
5 καὶ τὰ κτήνη ἡμῶν; [5]καὶ ἵνα τί τοῦτο ἀνηγάγετε ἡμᾶς ἐξ Αἰγύ-
πτου παραγενέσθαι εἰς τὸν τόπον τὸν πονηρὸν τοῦτον; τόπος, οὗ
οὐ σπείρεται οὐδὲ συκαῖ οὐδὲ ἄμπελοι οὐδὲ ῥόαι οὐδὲ ὕδωρ ἐστὶν
6 πιεῖν. [6]καὶ ἦλθεν Μωυσῆς καὶ Ααρων ἀπὸ προσώπου τῆς συνα-
γωγῆς ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ ἔπεσαν ἐπὶ
7 πρόσωπον, καὶ ὤφθη ἡ δόξα κυρίου πρὸς αὐτούς. [7]καὶ ἐλάλησεν
8 κύριος πρὸς Μωυσῆν λέγων [8]Λαβὲ τὴν ῥάβδον καὶ ἐκκλησίασον
τὴν συναγωγὴν σὺ καὶ Ααρων ὁ ἀδελφός σου καὶ λαλήσατε πρὸς
τὴν πέτραν ἔναντι αὐτῶν, καὶ δώσει τὰ ὕδατα αὐτῆς, καὶ ἐξοίσετε
αὐτοῖς ὕδωρ ἐκ τῆς πέτρας καὶ ποτιεῖτε τὴν συναγωγὴν καὶ τὰ
9 κτήνη αὐτῶν. [9]καὶ ἔλαβεν Μωυσῆς τὴν ῥάβδον τὴν ἀπέναντι

18 υσσωπιον B*† | τραυματος A† || 19 εβδομη $1^0 \frown 2^0$ B* | τη ημερα $3^0$] pr. εν A

20 1 πρωτω] τριτω B*(uid.)† || 2 ηθροισθ.] pr. συν A || 3 απεθαν.] απωλομεθα A || 4 ανηγαγετε] -γαγες B*: item B*† in 5 || 5 τον πονηρον > B* | σπειρεται] σπερειται A† | ουδε $3^0$ $4^0$] ουτε A || 8 την συναγωγην $1^0$] τη -γη B† | εναντιον A: item in 25

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/302 UNIVERSITÄT LEIPZIG